# THE CALL OF LEVI (Mk-Lk Identicals)

| Mark 2:13-17 | Luke 5:27-32 |
|---|---|
| Καὶ ἐξῆλθεν πάλιν | Καὶ μετὰ ταῦτα ἐξῆλθεν |
| παρὰ τὴν θάλασσαν· | |
| καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. | |
| 14 καὶ παράγων εἶδεν Λευὶν | καὶ ἐθεάσατο τελώνην ὀνόματι |
| τὸν τοῦ Ἁλφαίου | Λευὶν |
| καθήμενον ἐπὶ τὸ τελώνιον, | καθήμενον ἐπὶ τὸ τελώνιον, |
| καὶ λέγει αὐτῷ, | καὶ εἶπεν αὐτῷ, |
| Ἀκολούθει μοι. | Ἀκολούθει μοι. |
| καὶ | 28 καὶ καταλιπὼν πάντα |
| ἀναστὰς ἠκολούθησεν αὐτῷ. | ἀναστὰς ἠκολούθει αὐτῷ. |
| 15 Καὶ γίνεται κατακεῖσθαι αὐτὸν | 29 Καὶ ἐποίησεν δοχὴν μεγάλην Λευὶς αὐτῷ |
| ἐν τῇ οἰκίᾳ αὐτοῦ, | ἐν τῇ οἰκίᾳ αὐτοῦ· |
| καὶ πολλοὶ τελῶναι | καὶ ἦν ὄχλος πολὺς τελωνῶν |
| καὶ ἁμαρτωλοὶ | καὶ ἄλλων |
| συνανέκειντο τῷ Ἰησοῦ | οἳ ἦσαν μετ αὐτῶν |
| καὶ τοῖς μαθηταῖς αὐτοῦ· | κατακείμενοι. |
| ἦσαν γὰρ πολλοὶ καὶ ἠκολούθουν αὐτῷ. | |
| 16 καὶ | 30 καὶ ἐγόγγυζον |
| οἱ γραμματεῖς τῶν Φαρισαίων | οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς αὐτῶν |
| ἰδόντες ὅτι ἐσθίει μετὰ τῶν ἁμαρτωλῶν καὶ τελωνῶν | |
| ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ, | πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες, |
| Ὅτι μετὰ τῶν τελωνῶν | Διὰ τί μετὰ τῶν τελωνῶν |
| καὶ ἁμαρτωλῶν ἐσθίει | καὶ ἁμαρτωλῶν ἐσθίετε |
| | καὶ πίνετε |
| 2·17 καὶ ἀκούσας ὁ Ἰησοῦς | 31 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς |
| λέγει αὐτοῖς ὅτι | εἶπεν πρὸς αὐτούς, |
| Οὐ χρείαν ἔχουσιν | Οὐ χρείαν ἔχουσιν |
| οἱ ἰσχύοντες ἰατροῦ | οἱ ὑγιαίνοντες ἰατροῦ |
| ἀλλ οἱ κακῶς ἔχοντες· | ἀλλὰ οἱ κακῶς ἔχοντες· |
| οὐκ ἦλθον καλέσαι | 32 οὐκ ἐλήλυθα καλέσαι |
| δικαίους ἀλλὰ ἁμαρτωλούς. | δικαίους ἀλλὰ ἁμαρτωλοὺς |
| | εἰς μετάνοιαν |

92 words out of 201 = 46%